www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν παρακλητικός εἰς τὸν Τίμιον Πρόδρομον καὶ Βαπτιστὴν Ἰωάννην

Ἦχος πλ.δ'

Ἅγιον Ὄρος

2018

*Ἱλαρίωνος Μοναχοῦ*

# Κανὼν εἰς τὸν Τίμιον Πρόδρομον καὶ Βαπτιστὴν Ἰωάννην, παρακλητικός, οὗ ἡ ἀκροστιχίς, «Πρόδρομε τοῦ Σωτῆρος σῶσόν με», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.δ'.

*Ὠιδὴ Α΄ Ἁρματηλάτην Φαραώ.*

Πάσης ἀνάγκης τοῦ Κυρίου Πρόδρομε, καὶ Βαπτιστὰ τοῦ Χριστοῦ, θλίψεως καὶ νόσου, τῷ θερμῶς προσπίπτοντι, καὶ ἐπικαλουμένῳ σε, δούλῳ σῷ καὶ ἱκέτῃ τὴν ἀπολύτρωσιν δώρησαι, ταῖς πρὸς τὸν Θεὸν ἱκεσίαις σου.

Ῥυπῶντα ὅλον Βαπτιστὰ πανένδοξε, ὁ καθαρὸς τὴν ψυχήν, σὺ καὶ τὴν καρδίαν, μάκαρ ἐναποκάθαρον, ὁ τῇ χειρὶ τοῖς νάμασι, κορυφὴν τοῦ Δεσπότου, τῇ δεξιᾷ τὴν ἀκήρατον, πλύνας Ἰορδάνου πανθαύμαστε.

Ὁ στειρευούσης ἐκ γαστρὸς μακάριε, τοῦ Γαβριὴλ προελθών, τῇ φωνῇ Προφῆτα, τοῦ Ἀγγέλου ἄρδευσον, ψυχήν μου τὴν στειρεύουσαν, ἀκαρπίᾳ τῶν ἔργων, ἱκεσιῶν σου τοῖς νάμασι, δεῖξον καρποφόρον πανένδοξε.

*Θεοτοκίον.*

Ἴδε μου Κόρη εὐμενεῖ τῷ ὄμματι, ἀναισθησίαν φρικτήν, καὶ ὡς τοῦ ἐλέους, Μήτηρ με παράβλεψον, καὶ τῆς ὁδοῦ ἀπάρξασθαι μετανοίας εὐσπλάγχνως, πρὸ τελειώσεως ποίησον, πάντων ὅσα βούλει καὶ δύνασαι.

*Ὠιδὴ Γ΄ Ὁ στερεώσας κατ΄ ἀρχάς.*

Δεινοῖς τυράννοις ἐμπεσών, τοῖς δαίμοσιν Ἰωάννη, Βαπτιστὰ τῆς κακουργίας με τούτων, ἀπολύτρωσαι ταχύ, πρὸ τελευτῆς τὸν ἄθλιον, ὅπως ἀεὶ δοξάζω, τὰ σὰ Προφῆτα τεράστια.

Ῥοαῖς δακρύων τὴν ψυχήν, τὴν παναθλίαν μου μάκαρ, καταδρόσισον φλογμῷ ἐκτακεῖσαν, τῶν παθῶν τὴν κορυφήν, ὁ περιλούσας ὕδασι, τοῦ σταυρωθέντος Λόγου, τοῦ Ἰορδάνου θεσπέσιε.

Ὁ διαυγέστατος ἀστήρ, ὁ μετανοίας τῷ κόσμῳ, ἐπιλάμψας δαψιλῶς τὰς ἀκτίνας, μετανοίας τῷ φωτί, τὴν ζοφερὰν καταύγασον, ψυχήν μου Ἰωάννη, τῶν ἀσωμάτων ἐφάμιλλε.

*Θεοτοκίον.*

Λάγνον με ὄντα ἀγαθή, καὶ τῶν παθῶν τῷ βορβόρῳ, κυλινδούμενον καὶ μὴ πρὸς τὰ ἄνω, τῆς ψυχῆς μου ὁ δεινὸς διᾶραί μου τὰ ὄμματα, ὡς ἐλεημοσύνης, Μήτηρ ταχύ με σπλαγχνίσθητι.

*Ὠιδὴ Δ΄ Σύ μου ἰσχύς.*

Μεταστροφῆς, σωτηριώδους ἀξίωσον, τοῦ Κυρίου Βαπτιστὰ καὶ Πρόδρομε, τῷ ἱκετεύοντί σε θερμῶς, σὺ γὰρ μετανοίας, μεγαλοκῆρυξ πανένδοξε, ὡς ὄντως ἀνεδείχθης, καὶ ἀπόρων ἑτοίμη, προστασία παντοίαις ἐν θλίψεσι.

Ἐλέγχων πρίν, παρανομίαν τὴν ἄθεσμον, τοῦ Ἡρώδου Βαπτιστὰ μακάριε, ξίφει ἐτμήθης τὴν κεφαλήν, δι᾽ ἧς οἱ ἐν νόσοις, ἀπαλλαγὴν ἐντυγχάνουσι, κἀμοῦ τοῦ σοῦ ἱκέτου, τὰς τοῦ σώματος νόσους, καὶ ψυχῆς ἅμα ἴασαι ἔνδοξε.

Τῶν πειρασμῶν, τῷ κλύδωνι χειμαζόμενον, καὶ οὐδόλως σθένοντα τὸν ἄθλιον, τοῦ ναυαγίου διαφυγεῖν, πρὸς σὲ καταφεύγω, τὸν κυβερνήτην τὸν ἄριστον, θερμῶς καθικετεύων, τοῦ τυχεῖν τῆς τιμίας, δεξιᾶς σου χειρὸς ἀντιλήψεως.

*Θεοτοκίον.*

Ἀποβαλών, πᾶσαν αἰδῶ ὁ πανάθλιος, τοῖς αἰσχίστοις ἔργοις βεβορβόρωμαι, ἀσυνειδήτως διαπερῶν, πᾶσαν τὴν ζωήν μου οὐδεποσῶς ἐνθυμούμενος, τῆς κρίσεως Παρθένε, σὺ ὡς οἶδας με τρέψον, πρὸ τοῦ τέλους Ἁγνὴ πρὸς μετάνοιαν.

*Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.*

Ὁ ἀκάθαρτος ὅλως, πρὸς σὲ καταφεύγω βορβορώδους Πρόδρομε, φυγεῖν πολιτείας, τῇ χειρὶ κορυφὴν τὴν ἀμόλυντον, τοῦ Κυρίου ἅψας, σὺ καὶ μετάνοιαν ἀνθρώποις, ὁ κηρύξας μακάριε ἅπασι.

Ὑπεδέξω τρισμάκαρ, ἐν τῷ Ἰορδάνῃ ποταμῷ τὸν αἴροντα, ἁμαρτίας κόσμου, ὃν ἱκέτευε πλῆθος τὸ ἄμετρον, τῶν ἁμαρτιῶν μου, συγχωρηθῆναι τῇ ἀφάτῳ, καὶ ἀπείρῳ αὐτοῦ ἀγαθότητι.

Σωτηρίαν ἀνθρώποις, ἡ φωνὴ τοῦ Λόγου Βαπτιστὰ ἐκήρυξας, καὶ νῦν τοῖς σὲ πόθῳ, καταφεύγουσι χάριν σωτήριον, χάριτος Προφῆτα, ἐπιβραβεύεις καὶ ἐν πίστει, τοῖς ὑμνοῦσί σε πίστει τρισένδοξε.

*Θεοτοκίον.*

Ῥύπον ἔμπλεων ὄντα, ἡ καθαροτάτη μὴ Ἁγνὴ βδελύξῃ με, ἡ τὸν Θεὸν Λόγον, ἐν γαστρὶ συλλαβοῦσα τὸν ἄμωμον, ἀλλ' εὐσπλάγχνως πᾶσαν, τὴν τῆς ψυχῆς μου βδελυρίαν, ἀποκάθαρον Κόρη καὶ σῶσόν με.

*Ὠιδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.*

Ὡς παρρησίαν πολλήν, πρὸς τὸν Θεὸν ἔχων Πρόδρομε, τῷ ἱκετεύοντί σε, ἐπίσκεψαι ἅγιε, καὶ δεινὰς τοῦ σώματος, ἀλγηδόνας λῦσον, καὶ παθῶν τὴν φλόγα πράϋνον.

Τῆς παναγίας χειρός, χάριν τῆς σῆς ἐξαιτούμενος, δι' ἧς τῶν ἐπιβουλῶν, ἐχθρῶν λυτρωσάμενος, ὕμνον σοι αἰνέσεως, θύσω Ἰωάννη τῶν Ἀγγέλων ἰσοστάσιε.

Ἡ παναγία Τριάς, λειψάνων σου πλοῦτον ἄσυλον, ἀνέδειξε τὴν σορόν, τοῖς πίστει προστρέχουσι, Βάπτιστὰ μακάριε, καὶ ἐξαιτουμένοις, τούτων χάριν τὴν οὐράνιον.

*Θεοτοκίον.*

Ἰλύϊ τῶν στυγερῶν, πεσόντα Κόρη τὸν ἄθλιον, παθῶν ἐξ ἧς ἀγαθή, ἐκτείνας ἐξάγαγε, χεῖρά σου Πανάχραντε, τὸν σεσαρκωμένον, Θεὸν Λόγον τὴν βαστάσασαν.

## *Ὠιδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.*

Ῥημάτων μου Πρόδρομε, σοὶ φθεγγομένων ἐκ κατωδύνου ψυχῆς, μὴ παρίδης, ἀλλ' ὥσπερ, τοῖς πρὶν μετάνοιαν, διαπρυσίῳ φωνῇ, σοὶ προσιοῦσι θεόφρον ἐκήρυττες, μετανοῆσαι κἀμοί, δίδου τῷ δούλῳ σου.

Ὀλέθριον ἄθεσμον, ἔθος τὸν ἄθλιον, τυραννεῖ ἐσαεί, καὶ βυθῷ με καθέλκει, τῆς ἀπογνώσεως τοῦ φυγεῖν μηδαμῶς, σθένων ὁ τάλας, διὸ κραυγάζω σοι, ἀπαλλαγὴ Βαπτιστά, τούτου με χάρισαι.

Σοὶ ἔνδοξε Πρόδρομε, προσπεφευγότι με νῦν ἐκ νόσου δεινῆς, τὴν ἀθλίαν ψυχήν μου, μαστιζομένην πρὶν ὁ πικρὸς χωρισμός, τοῦ τέλους φθάσῃ ταῖς σαῖς ἐλευθέρωσον, πανευπροσδέκτοις εὐχαῖς, ἵνα ὑμνῶ σε ἀεί.

*Θεοτοκίον.*

Ὢ πόσων ὁ ἄθλιος, δακρύων χρῄζω ἵνα ἐκπλύνω παθῶν, τῶν αἰσχίστων μου ῥύπον, σύ με Παρθένε, πρὸ τοῦ θανάτου πηγάς, τούτων μοι δώρησαι ὡς τετοκυῖα Θεόν, εἰς σωτηρίαν βροτῶν εὐλογημένη Ἁγνή.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ Η' Ἑπταπλασίως κάμινον.*

Στειρωτικῶν μακάριε, ἐκ λαγόνων ἐξήνθησας, καὶ τῇ οἰκουμένῃ τοῦ Πατρὸς ἐκήρυξας, Υἱὸν τὸν συνάναρχον, σαρκὶ φανέντα ὃν ἐκτενῶς, πρέσβευε ἀεί, ὡς κεκτημένος μεγίστην, αὐτῷ τὴν παρρησίαν τοῖς αἰτοῦσί σε δοῦναι, ἡμῖν τῶν ἀμετρήτων ἀμπλακημάτων λύσιν.

Ὡς τοῦ Σωτῆρος Πρόδρομος, Ἰωάννη πανένδοξε, καὶ τῆς μετανοίας κήρυξ διαπρύσιος, καὶ ἄναξιν ἔλεγχος, παρανομοῦσι καὶ πρεσβευτής, πᾶσι τοῖς πρὸς σέ, πίστει προστρέχουσιν ὅθεν, κἀμοὶ τῷ προσφυγόντι, σοὶ ὁδῷ μετανοίας, ὁδήγησόν με ὅπως, ἀεί σε μακαρίζω.

Σὺν ἀσωμάτων τάξεσι, Βαπτιστὰ αὐλιζόμενος, καὶ τῇ Παναγίᾳ τούτοις παριστάμενος, Τριάδι γηθόμενος, μέλπεις ἀένναον τῷ Πατρί, ὕμνον καὶ Υἱῷ, καὶ Πνεύματι τῷ Ἁγίῳ, Θεῷ τῷ τῶν Πατέρων, ὃν δυσώπει ἀπαύστως, σωθῆναι τοὺς σὲ πόθῳ, καὶ πίστει ἀνυμνοῦντας.

*Θεοτοκίον.*

Νυξάτω Παναμώμητε, τὴν πωρώδη καρδίαν μου, κέντρον τοῦ σοῦ πόθου, καὶ βοᾶν

σοι ἄπαυστα, τῇ μόνῃ τὸν ἄχρονον, ἐν τῇ νηδύϊ σου χρονικῶς, σχοῦσα εἰς βροτῶν, τὴν σωτηρίαν τοῦ γένους, ὦ Μῆτερ τοῦ Θεοῦ μου, πανευσπλάγχνως παράσχου, ὁδῷ τῆς μετανοίας ὁδεῦσαι πρὸ τοῦ τέλους.

*Ὠιδὴ Θ΄ Ἐξέστη ἐπὶ τούτῳ.*

Ὁ μείζων Ἰωάννη ἐν γεννητοῖς, γυναικῶν ὡς τὸ στόμα ἐφθέγξατο τοῦ Ἰησοῦ, Θεοῦ τῶν ἁπάντων τὸ ἀληθές, κακώσεως ἐκλύτρωσαι, καὶ παντοίων θλίψεων Βαπτιστά, τοὺς πόθῳ σου τὴν μνήμην, θερμῷ ἐπιτελοῦντας, ἡμᾶς καὶ πίστει μεγαλύνοντας.

Νοσούντων ὁ πανάριστος ἰατρός, καὶ πταιόντων πανέτοιμος ἄφεσις, καὶ ὁ λιμήν, τῶν χειμαζομένων ὁ γαληνός, καὶ μετανοίας ὄργανον, εὔηχον πανένδοξε μελωδοῦν, τῷ σὲ θερμῶς αἰτοῦντι, μετάνοιαν εὐχαῖς σου, ταῖς πρὸς Χριστὸν παράσχου Πρόδρομε.

Μεγάλῃ ἀνεκήρυξας τῇ φωνῇ, ἐν ἐρήμοις Προφῆτα καὶ Πρόδρομε καὶ Βαπτιστά, τοῖς λαοῖς μετάνοιαν καὶ Θεόν, σεσαρκωμένον ἔδειξας, ἁμαρτίας αἴροντα τῶν βροτῶν, καὶ νῦν χειμαζομένην, πιστῶν τὴν Ἐκκλησίαν, ταῖς ἱκεσίαις σου εἰρήνευσον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν ὥρᾳ τοῦ θανάτου με τῇ φρικτῇ, Βαπτιστὰ τοῦ Σωτῆρος παράστηθι, καὶ τὰς γραφὰς τῶν παραπτωμάτων μου τὰς πολλάς, μακάριε διάλυσον, τῇ πρὸς τὸν Δεσπότην καὶ Λυτρωτήν, μεγίστῃ παρρησίᾳ, καὶ προσβολὰς ἀπείργων, τὰς τῶν δαιμόνων πανσεβάσμιε.

*Θεοτοκίον.*

Μητέρα Παναγία πάντων ἡμῶν, οἱ ἐν Ἄθῳ οἰκοῦντες καλοῦμέν σε, καὶ ὁδηγόν, πρὸς ἀμείνω Ἄχραντε βιοτήν, τροφόν τε καὶ μεσίτριαν, πρὸς τὸν γεννηθέντα Κόρη ἐκ σοῦ, Υἱὸν ὃν ἐκδυσώπει, λυτρῶσαι ἡμᾶς λύμης, κακοδοξούντων τοὺς ὑμνοῦντάς σε.

*Προσόμοια.*

*Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄.*

Στείρας ἱερὸν ἐκβλάστημα, ἐρήμου θρέμμα σεπτόν, παρουσίας τε ἔνθεος, καθωράθης Πρόδρομε, κῆρυξ μάκαρ πανένδοξος, τοῦ σαρκωθέντος Λόγου καὶ Ἄγγελος, ὁ ἐφαψάμενος τὴν Πανάχραντον, τούτου πανεύφημε, κορυφήν, ᾧ πρέσβευε διὸ ἀεί, τοὺς ὑμνολογοῦντάς σε, κινδύνων σώζεσθαι.

Γνώμης ἀκολάστου ἔλεγχος, σὺ γεγονὼς Βαπτιστά, ἀπετμήθης τὴν κάραν σου, ἥνπερ

φρίσσει ἅπασα, τῶν δαιμόνων ἡ δύναμις, καὶ τῶν ἀνθρώπων πληθὺς ἀσπάζεται, πιστῶς καὶ ταύτης, χάριν ἀρύεται, ἣν πανσεβάσμιε τοῦ Κυρίου Πρόδρομε καὶ τοῖς θερμῶς, αἰτουμένοις δώρησαι ἡμῖν τοῖς δούλοις σου.

Πᾶσαν τὴν ζωήν μου πάθεσι, ἐκδαπανήσας αἰσχροῖς, ὁ ἀσύνετος γέγονα, ἀληθῶς ὑπέκκαυμα, τοῦ πυρὸς τῆς κολάσεως, τελείως ὄντα με θεῖε Πρόδρομε, ἀπεγνωσμένον τάχει ἐπίσκεψαι, καὶ καθωδήγησον, ταῖς πανευπροσδέκτοις σου, μάκαρ εὐχαῖς, εἰς ὁδὸν τὴν ἄγουσαν, πρὸς τὴν μετάνοιαν.

Ὅλην τὴν ἐλπίδα Δέσποινα, ἀνατεθεὶς πρὸς τὴν σήν, εὐσπλαγχνίαν οἰκτείρησον, δωρεὰν τὸν δείλαιον, καὶ μισῆσαι ἐνίσχυσον, τὸ ἀποτρόπαιον ἔθος Πάναγνε, τῆς ἁμαρτίας καὶ θεομίσητον, καὶ ὡς ἐπίστασαι, καὶ ὡς βούλει χάρισαι κἀμὲ φρονεῖν, καὶ ζητεῖν τὰ μένοντα, εἰς ζωὴν ἄληκτον.